UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Esaiæ. 196.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ſexcenta alia, tam quæ commemoraui, quàm quæ prætermiſi, bona procreare. Si quidem ille omnium rex captiuam naturā non modò redemit: verum etiam ad ſummum honoris gradum euexit.

λειφθέντων ἀγαθῶν ποιητικόν. ὁ γὰρ τῶν ἁπάντων βασιλεὺς, οὐ μόνον ἐλυτρώσατο τὴν αἰχμαλωτευθεῖσαν φύσιν, ἀλλὰ καὶ εἰς τὴν ἀνωτάτω τιμὴν ἀνήγαγεν.

Eſaiæ. 196.

Ex incomparabili Dei lenitate ac patiētia ſocordiæ materiam arripere minimè oportet: ne alioqui maiora, quàm quibus ignoſci debeat, peccata vtroque nomine perpetrare deprehendamur, hoc eſt, dū & ſtultè deſidia & inertia laboramus, & diuinam benignitatem ſtultiùs contemnimus.

Ἠσαΐα, ρϟϛ.

Οὐ χρὴ τὴν ἀνυπέρβλητον τοῦ θεοῦ μακροθυμίαν, ὑπόθεσιν ῥαθυμίας ποιεῖσθαι, ἵνα μὴ μείζονα συγγνώμης κατ' ἄμφω ἁμαρτάνοντες ἁλῶμεν, τῷ τε παραλόγως ἐρραθυμηκέναι, τῷ τε παραλογώτερον τῆς χρηστότητος καταπεφρονηκέναι.

Theognoſto Preſbytero. 197.

Quòd quidem, niſi exitioſus ac ſacrilegus Euſebius clariſſimi viri Timothei ad virtutem impetus excidiſſet, eum toto orbe cognitum ac celebrem redditurus erat, prudentiam tuam minimè ignorare arbitror. Quòd autem ne ſic quidem citra gloriam è vita migrauerit, verùm ob præclariſſimas virtutes ab omnibus prædicetur, hoc à nobis diſce. Quòd ſi quid etiam admiratione dignum dicere opus eſt, haud tantam fortaſſe gloriam nominiſque celebritatem obtinent, qui ad virtutem incitantur, ac coronam adipiſcuntur, quantum ij, qui, cùm prohibeantur, ac ne quidem quid ſit virtus cogitare, nedum exequi permittantur, ſynceros tamen ipſius amatores ſe præbent. Nuda enim & aperta eſt, hæc mentis eorum exploratio eſt.

Θεογνώστῳ πρεσβυτέρῳ. ρϟζ.

Ὅτι μὲν εἰ μὴ τὰς πρὸς τὸ ἀγαθὸν ὁρμὰς τοῦ ἀοιδίμου Τιμοθέου ὁ ἀλιτήριος Εὐσέβιος ἐξέκοπτεν οἰκουμενικὸν ἂν καὶ διαβόητον ἄνθρωπον ἐποίησεν, οἶμαι μὴ ἀμφιβάλλειν τὴν σὴν σύνεσιν, ὅτι δὲ οὐδὲ οὕτως ἀκλεῶς τὸν βίον κατέστρεψεν, ἀλλ' ὑπὸ πάντων ἐπὶ τοῖς καλλίστοις ᾀδόμενος, τοῦτο παρ' ἡμῶν μάνθανε. εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τάχα οὐχ οὕτως εἰσὶν εὐδόκιμοι, οἱ πρὸς ἀρετὴν ἀλειφόμενοι, καὶ στεφανῖται γενόμενοι, ὡς οἱ κωλυόμενοι μὲν, καὶ μηδὲ τί ἐστιν ἀρετὴ ἐννοῆσαι συγχωρούμενοι, μήτι γε πρᾶξαι. ἐρασταὶ δὲ γνήσιοι ταύτης ἀναφαινόμενοι. γυμνὴ γάρ ἐστιν αὕτη τῆς διανοίας αὐτῶν ἡ βάσανος.

Hieraci Preſbytero. 198.

Singularem quandam animi ſummiſſionem tuam eæ literæ, quas ad me dediſti, arguunt. Quòd ſi inficias ieris, dictum illud, quod, aliquid ex me ſcire cupiens, adiunxiſti, te prodet. Sic enim locutus es, Me quoque omnium hominum poſtremum, ac velut abortiuum doce, quidnam ſit, cur Deus per Eſaiam facturum ſe dixerit, vt ea pœnitentium ſcelera, quæ ad coccini ſimilitudinem accederet, lanæ inſtar,

Ἱέρακι πρεσβυτέρῳ. ρϟη.

Ταπεινοφροσύνην ὑπερβάλλουσαν κατηγορεῖ σου τὸ γραφέν σοι πρὸς ἐμὲ γράμμα. εἰ δὲ ἀρνήσαιο, ἐλέγξει σε καὶ αὐτὴ ἡ ῥῆσις, ἣν μαθεῖν τι παρ' ἐμοῦ βουληθεὶς, συνέπλεξας. ἔφης γὰρ ὅτι ἔσχατον πάντων ὄντα, καὶ ὥσπερ ἔκτρωμα, δίδαξον κἀμὲ, τί δήποτε ὁ θεὸς διὰ Ἡσαΐου, τὰ μὲν ὡς κόκκινον ἁμαρτήματα τῶν μετανοούντων ὡς ἔριον λευκαίνειν ἔφη. τὰ δὲ ὡς φοινικοῦν ὡς χιόνα.